τι. γλῶσσα, γλῶττα, δισσὸν καὶ ἐπὶ τῆς Ἰωνικῆς δοτικῆς τῶν πεμπτοκλίτων. παντεσσι. θήρεσσι. ποιητῶν δὲ ταυτί. Περὶ μὲν οὖν τῶν τοιούτων εἴρηται ἐν τῷ δευτέρῳ βιβλίῳ.

## Περὶ τῶν Ἰδίᾳ Ὑπογραφομένων.

§. αξ'. Οὐκ ἔξω δὲ τῶν περὶ ὀρθογραφίας καὶ ἡ τῶν ὑπογραφομένων διάληψις. Ὑπογράφονται τοίνυν ἰδίᾳ χωρὶς τῶν πρότερον ἐν τοῖς περὶ Κλίσεως, καὶ σχηματισμοῦ εἰρημένων, τάδε.

## Περὶ τοῦ Α.

§. αξά. Ἤδω, ὅθεν τὸ ᾆσμα, ᾄδης, ᾀεὶ, καὶ τὰ ἐξ αὐτοῦ σύνθετα. ᾀείμνησον, ᾀειθαλές. Ἔτι τὸ ῥᾴδιος, ῥᾴων, ῥᾷστος, καὶ τὰ ἐξ αὐτῶν. οἷον ῥᾳδιουργῶ, ῥᾳδιουργία, ῥᾳστώνη, ῥᾳστωνεύομαι. Ἔτι τὸ πρᾷος, πρᾳότης. ῥᾴθυμος, ῥᾳθυμία, ῥᾷβδος. Ἔτι δᾳς, δᾳδός. Θρᾷξ, θρᾳκὸς, θρᾳκη, καὶ θρᾳσκίας, ὁ ἄνεμος.

## Περὶ τοῦ Η.

§. αξβ'. Ἔτι τὸ θρῃσκεύω, καὶ θρῃσκεία, ἀπὸ γὰρ τῶν Θρᾳκῶν. Ἔτι τὸ χρῄζω, κλῄζω, λῃστὴς, καὶ τὰ ἐξ αὐτοῦ λῃστεύω, λῃστεία, λῃστρικόν. Ἔτι ἀηδὼν, ἀηδόνος. ᾐὼν, ᾐόνης. δῃῶ, καὶ ἀδῄωσον. γῄδιον, καὶ αἰζῃός. Μῄονες, δὲ, ἀντὶ Μαίονες, καὶ μετῄωρα, ἀντὶ μεταίωρα, καὶ καλλιπάρῃοι, καὶ μιλτοπάρῃοι καὶ ἄλλα τοιαῦτα, Ποιητικά.